προσαγορεύσας τὸν Περίανδρον ‘εὖ γ’’ ἔφη ‘Περίανδρε Χερσίας ἐποίησε μνησθεὶς τοῦ οἴκου· πολλάκις γὰρ ἐβουλόμην ἐρέσθαι σε τῶν βατράχων τὴν αἰτίαν ἐκείνων, τί βούλονται περὶ τὸν πυθμένα τοῦ φοίνικος ἐντετορευμένοι τοσοῦτοι, καὶ τίνα πρὸς τὸν θεὸν ἢ τὸν ἀναθέντα λόγον ἔχουσι.’ τοῦ δὲ Περιάνδρου τὸν Χερσίαν ἐρωτᾶν κελεύσαντος, εἰδέναι γὰρ B ἐκεῖνον καὶ παρεῖναι τῷ Κυψέλῳ καθιεροῦντι τὸν οἶκον, ὁ Χερσίας μειδιάσας ‘ἀλλ’ οὐκ ἄν’ ἔφη ‘φράσαιμι πρότερον ἢ πυθέσθαι παρὰ τούτων ὅ τι βούλεται τὸ ‘μηδὲν ἄγαν’ αὐτοῖς καὶ τὸ ‘γνῶθι σαυτόν’, καὶ τοῦτο δὴ τὸ πολλοὺς μὲν ἀγάμους πολλοὺς δ’ ἀπίστους ἐνίους δὲ καὶ ἀφώνους πεποιηκὸς ‘ἐγγύα πάρα δ’ ἄτα’.’ ‘τί δ’’ εἶπεν ὁ Πιττακός ‘ἡμῶν δέῃ ταῦτα φραζόντων; πάλαι γὰρ Αἰσώπου λόγον εἰς ἕκαστον ὡς ἔοικε τούτων συντεθεικότος ἐπαινεῖς’. καὶ ὁ Αἴσωπος ‘ὅταν γε παίζῃ πρὸς ἐμὲ Χερσίας’ εἶπε· ‘σπουδάζων δὲ τούτων Ὅμηρον εὑρετὴν ἀποδείκνυσι καί φησι τὸν μὲν Ἕκτορα γιγνώσκειν ἑαυτόν, C τοῖς γὰρ ἄλλοις ἐπιτιθέμενος (*Λ* 542)

‘Αἴαντος ἀλέεινε μάχην Τελαμωνιάδαο’·

τὸν δ’ Ὀδυσσέα τοῦ ‘μηδὲν ἄγαν’ ἐπαινέτην τῷ Διομήδει παρακελεύεσθαι (*K* 249)

‘Τυδείδη, μήτ’ ἄρ με μάλ’ αἴνεε μήτε τι νείκει’.

τὴν δ’ ἐγγύην οἱ μὲν ἄλλοι λοιδορεῖν αὐτὸν ὡς πρᾶγμα δείλαιον καὶ μάταιον οἴονται λέγοντα (*θ* 351)

‘δειλαί τοι δειλῶν γε καὶ ἐγγύαι ἐγγυάασθαι’,

Χερσίας δ’ οὑτοσί φησι τὴν Ἄτην ὑπὸ τοῦ Διὸς ῥιφῆναι τῇ ἐγγύῃ παραγιγνομένην ἣν ἐγγυησάμενος ὁ Ζεὺς ἐσφάλη περὶ τῆς τοῦ Ἡρακλέους γενέσεως (*T* 126 sqq.).’ ὑπολαβὼν δ’ ὁ Σόλων ‘οὐκοῦν’ ἔφη ‘καὶ τῷ σοφωτάτῳ πιστευτέον Ὁμήρῳ D (*H* 282. 293)

‘νὺξ δ’ ἤδη τελέθει· ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι.’